93 Παλινάγρετον: πάλιν καὶ αὖθις ὑστερόληπτον. ἢ ἀφ' οὗ δύ- Σ
ναταί τις πάλιν διεγερθῆναι. Etym.
94 Παλιγκάπηλος: ὁ μεταπράτης. Σ
95 Παλινδικεῖ: ἐπισυνάπτει δίκην. καὶ παλινδικίαν διδοὺς τοῖς Σ
ἀδίκως καταδικασθεῖσι.
96 Παλίνδρομος: ὀπισθόρμητος. πέμψας αὐτῷ μνᾶς εἴκοσι πα-
λινδρόμους ἀπέλαβε. E
97 Παλινδρομῶν: ὑποστρέφων. Σ
98 Παλιναίρετα: τὰ ἐπεσκευασμένα, καὶ οἷον ἐπίγναφα· οὐ καινὰ Σ
δέ, οὐδὲ ὑγιῆ.
99 Παλιναίρετος· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλο- Harp.
φορηθέντος ἐνδείξει. μήποτε δὲ αἱρετὸν λέγει ὁ ῥήτωρ τὸν Πολύευκ-
τον, ἐπειδήπερ συκοφαντῶν τινας, ἔπειτα λαμβάνων δῶρα, τούτοις
αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο καὶ διὰ τοῦτο ἐκω-
λύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν, ἣν ὤφειλεν, ἔπειτα ἀποτίσας
τὴν ζημίαν πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους παλιναιρέτους·
ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας ἀρχήν τινα ἄρχειν καὶ πάλιν χειρο-
τονηθέντας. Πίνδαρος δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκο-
δομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει.
100 Παλινοδία: ἐναντία ὁδός. Παλινῳδία δὲ ἐναντία ᾠδή, ἢ Σ
τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. καὶ ῥῆμα Παλινῳδῶ. Δ
καὶ παροιμία· Ἄδων παλινῳδίαν. Prov.
101 Παλίνορσος: ὀπισθόρμητος. Σ
102 Παλινοστήσας: ἐπανελθών. Σ
103 Παλίνωρον: παλινόρμητον. διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρ- Ar.
μώμενον ποιεῖν. Ἀριστοφάνης· τὸ σφυρὸν παλίνωρον ἐξεκόκκισε.
104 Παλίνσκιον: Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ ἀντὶ Harp.
τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς· χειμῶνι παλινσκίῳ. ἀντὶ τοῦ ζοφερῷ.